τοὺς γ δ [illegible]. ἐπεὶ γὰρ
ὡς ὁ ε πρὸς τὸν η, οὕτως ὁ γ
πρὸς τὸν δ. ὁ δὲ ε τὸν η μετρεῖ·
καὶ ὁ γ ἄρα τὸν δ μετρεῖ. ὁ μεί-
ζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν
ἀδύνατον. οὐκ ἄρα οἱ α β με-
τρήσουσίν τινα ἀριθμὸν ἐ-
λάσσονα ὄντα τοῦ ε. ὁ ε ἄρα
ἐλάχιστος ὢν ὑπὸ τῶν α β με-
τρεῖται. ὅπερ ἔδει δεῖξαι :~

Ἐὰν δύο ἀριθμοὶ ἀριθμόν τινα μετρῶσιν, καὶ ὁ ἐλά-
χιστος ὑπ' αὐτῶν μετρούμενος τὸν αὐτὸν μετρήσει. δύ-
ο γὰρ ἀριθμοὶ οἱ α β ἀριθμόν τινα τὸν γδ μετρείτωσαν·
ἐλάχιστον δὲ τὸν ε. λέγω ὅτι καὶ ὁ ε τὸν γδ μετρεῖ. εἰ
γὰρ οὐ μετρεῖ ὁ ε τὸν γ, ὁ ε τὸν δζ μετρῶν λειπέτω ἑ-
αυτοῦ ἐλάσσονα τὸν γζ. καὶ ἐπεὶ οἱ α β τὸν ε μετροῦσιν,
ὁ δὲ ε τὸν δζ μετρεῖ, καὶ
οἱ α β ἄρα τὸν δζ μετρήσουσιν·
μετροῦσιν δὲ καὶ ὅλον τὸν γδ· καὶ
λοιπὸν ἄρα τὸν γζ μετρή-
σουσιν ἐλάσσονα ὄντα
τοῦ ε. ὅπερ ἐστὶν ἀδύνα-
τον. οὐκ ἄρα οὐ μετρεῖ
ὁ ε τὸν γδ. μετρεῖ ἄρα. ὅ-
περ ἔδει δεῖξαι :~

[illegible] οὖν ἐλάχιστον μετροῦσιν
[illegible] τρεῖς ἀριθμοὶ οἱ α β γ
[illegible] μετροῦσιν ἀριθμόν· εἰ δὲ
[illegible] ὁ ἐλάχιστος μετρούμενος
[illegible] μετρεῖ· μετρείτω
[illegible] τὸν δ [illegible] μετρεῖ· οἱ α β γ [illegible]
[illegible] οἱ α β τὸν δ [illegible]
[illegible] μετροῦσιν. λέγω δὴ ὅτι καὶ ἐλάχιστον. εἰ γὰρ μή,
[illegible] ἀριθμόν οἱ α β γ ἐλάσσονα ὄντα
[illegible] οἱ α β γ τὸν ε μετροῦ-
[illegible] καὶ ὁ ἐλάχιστος ἄρα
[illegible] ἄρα τὸν ε μετροῦσιν· καὶ ὁ ἐλάχιστος
ὑπὸ τῶν α β μετρούμενος τὸν ε μετρήσει. ἐλάχιστος
δὲ ὑπὸ τῶν α β [illegible] ἐστὶν ὁ δ· ὁ δ ἄρα τὸν ε
μετρήσει ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον·
οὐκ ἄρα οἱ α β γ μετρήσουσίν τινα ἀριθμὸν ἐλάσσονα
ὄντα τοῦ δ· οἱ α β γ ἄρα ἐλάχιστον τὸν δ μετροῦσιν·
[illegible] ὁ γ τὸν δ. καὶ ἐκκείσθω ὑπὸ
[illegible] ἐλάχιστος μετρούμενος ἀριθμὸς ὁ ε. ἐπεὶ
οἱ α β τὸν δ μετροῦσιν, ὁ δὲ δ τὸν ε μετρεῖ, καὶ οἱ α β ἄ-
ρα τὸν ε μετροῦσιν. μετρεῖ δὲ καὶ ὁ γ τὸν ε· καὶ οἱ α β γ
ἄρα τὸν ε μετροῦσιν. λέγω δὴ ὅτι καὶ ἐλάχιστον. εἰ γὰρ
μή, μετρήσουσίν τινα οἱ α β γ ἐλάσσονα ὄντα τοῦ ε.
μετρείτωσαν τὸν ζ. ἐπεὶ οἱ α β γ τὸν ζ μετροῦσιν, καὶ
οἱ α β ἄρα τὸν ζ μετροῦσιν· καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ
τῶν α β μετρούμενος τὸν ζ μετρήσει. ἐλάχιστος δὲ
ὑπὸ τῶν α β μετρούμενός ἐστιν ὁ δ· ὁ δ ἄρα
τὸν ζ μετρεῖ. μετρεῖ δὲ καὶ ὁ γ τὸν [illegible]